TEZAUR LITURGIC


28 OCTOMBRIE
ANTONIOS MARKOU

SLUJBA SF.CUVIOS ŞTEFAN SAVAITUL IMNOGRAFUL



ATENA,2020

www.tezaurliturgic.ro



28 Ὀκτωβρίου
Ἀκολουθία Ὁσίου ΣΤΕΦΑΝΟΥ τοῦ Σαββαΐτου, τοῦ καί Ὑμνογράφου

Ποίημα Ἀντώνιος Μάρκου

ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Λαύρας τοῦ Σάββα τό ἄνθος* τό εὐωδέστατον,* Χριστοῦ τὴν εὐωδίαν* ἀποπνέοντα ὅλως,* Στέφανον αἰνέσωμεν τῶν αὐτοῦ* θαυμασίων τρυφήσαντες,* ὑμνογραφίας ἐργάτην καὶ τῆς σεπτῆς,* πρώτης Λαύρας τό ὀσφράδιον.

Χαίροις θειότατε Πάτερ* καί περιτίμητε,* κοίλης Συρίας γόνε,* ὁ ἀναδειχθείς ἐν Κυρίῳ,* ἀνδρῶν τε φιλοθέων καὶ μοναστῶν* Μαρτύρων, ὕμνων ὁ ποιητής,* ὁ τοῦ μεγίστου Ἰωάννου Δαμασκηνοῦ* συγγενής ὁ θεοέμπνευστος

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου* κατηξιώθης οἰκεῖν* καὶ σὺν Ἀγγέλοις μέλπειν,* τὸν Τρισάγιον ὕμνον,* Στέφανε Πάτερ· ὑπὲρ ἡμῶν,* τῶν ὑμνητῶν σου δεήθητι* ἐλεηθῆναι, ῥυσθῆναι τε, συμπαθῶν* τῆς παρούσης περιστάσεως.

Τοῖς Ἀσωμάτοις συνήφθης* ἐπὶ τῆς γῆς κατοικῶν* καὶ σὺν αὐτοῖς ἀπαύστως,* νῦν ὑμνεῖς τήν Τριάδα,* Στέφανε παμμάκαρ· ὅθεν ἀεί,* ὡς οὐράνιος ἄνθρωπος,* περιπολεύων τῶν ἄνω ἀντιλαβοῦ* τῶν ἐν γῇ μνήμην τελούντων σου.

Δόξα. Ἦχος β΄.

Εὐφραίνεται ἐπί σοί, Πάτερ,* ἡ Ἐκκλησία τοῦ Χριστοῦ* μετ' εὐφροσύνης κράζουσα·* χαῖρε φωστήρ αὐγάζων τήν τοῦ Σάββα Μάνδραν,* ὁ ταύτην οὐρανώσας·* χαῖρε τό τῆς Συρίας εὔοσμον ἴον,* ὁ τόν Σταυρόν τοῦ Κυρίου ἀράμενος* καί σταυρικῷ τῷ τρόπῳ,* Σταυροῦ τῷ ἰστίῳ,* πρός τήν μένουσαν διαπορθμευθείς εὔκλειαν·* χαῖρε ὁ ὁδηγός,* ὁ οὐρανίᾳ ὑμνωδίᾳ πιστούς ὁδηγῶν* πρός τήν πόλιν τήν μένουσαν.* Ὡς ἔχων παῤῥησίαν,* ὑπὲρ ἡμῶν Χριστῷ τῷ Κυρίῳ πρέσβευε.

Καί νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς Σὲ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Πρέσβευε ἐκτενῶς* ὑπὲρ τῶν σέ τιμώντων,* Στέφανε, Λόγου λόγε,* ῥυσθῆναι ἐκ παγίδων* ἐχθροῦ τοῦ πολεμήτορος.

Στ. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Ἄνθος Χριστοῦ τερπνόν,* ἁγιωσύνης κλέος,* τῇ σῇ εὐωδεστάτῃ* καὶ μυριπνόῳ δόξῃ,* πάντας ἡμᾶς κατηύφρανας.

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Λύτρωσαι ἐκ δεινῶν* κινδύνων ἡμᾶς πάντας,* Στέφανε, δυσωποῦμεν,* ὡς ἄριστος προστάτης,* ἡμῶν καὶ φύλαξ ἄγρυπνος.

Δόξα. Τριαδικόν.

Τριάδι τῇ σεπτῇ,* παρ' Ἧς ἡ σωτηρία,* ὑπὲρ ἡμῶν ἀπαύστως,* μὴ παύσῃ τοῦ πρεσβεύειν,* τῆς Λαύρας Σάββα κόσμημα.

Καὶ νῦν. Θεοτοκίον.

Ἄνασσα τοῦ παντός* καὶ Μήτηρ τοῦ Ὑψίστου* ὑπάρχουσα, Παρθένε,* μετὰ σεπτοῦ Στεφάνου,* Κυρίῳ ἱκετεύσατε.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος γ'. Θείας πίστεως. Γερασίμου μ. Μικραγιαννανίτου.

Στέφος εἴληφας* τῆς εὐδοκίας,* στέφος γέγονας* τῆς Ἐκκλησίας,* ἐπωνύμως, παναοίδημε Στέφανε·* σὺ γάρ ἐνθέοις στεφόμενος χάρισι,* δι' εὐσεβείας ποικίλως διέπρεψας.* Πάτερ Ὅσιε, Χριστόν τόν Θεόν ἱκέτευε,* δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

Θεοτοκίον.

Ἕκαστος ὅπου σώζεται* ἐκεῖ δικαίως καί προστρέχει·* καί ποία ἄλλη καταφυγή,* ὡς Σύ Θεοτόκε,* σκέπουσα τάς ψυχάς ἡμῶν;

Ἀπόλυσις.

ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια ἐκ τοῦ Μηναίου γ΄. Ἦχος πλ. δ΄. Ὦ τοῦ παραδόξου θαύματος.

Πάτερ θεοφόρε Στέφανε,* θείᾳ φρονήσει τόν νοῦν* ὀχυρώσας λαμπρότατα* τόν θυμόν ἀνδρείαν τε* σωφροσύνῃ τήν ἔφεσιν,* δικαιοσύνῃ πᾶσαν τήν δύναμιν* ψυχῆς ἰθύνας φιλοσοφώτατα,* ἅρμα τερπνότατον* ἀρετῶν συνήρμοσας, οὗ ἐπιβάς* χαίρων ἀνελήλυθας* πρός ὕψος, Ὅσιε.

Πάτερ θεορρήμον Στέφανε,* θεολογίᾳ τόν νοῦν* κατελάμπρυνας, Ὅσιε,* δορυφόρον οἷά περ* τόν θυμόν προτεινόμενος,* κατά βλασφήμων, μάκαρ, αἱρέσεων,* ἐπιθυμίᾳ τρυφῆς τῆς ἄνωθεν,* ἧς κατηξίωσαι* μετασχεῖν, θεσπέσιε, παρεστηκώς* θρόνῳ τοῦ Παντάνακτος* καί Παντοκράτορος.

Πάτερ θεορρήμον Στέφανε,* δι᾽ ἐγκρατείας τόν νοῦν* πιαινόμενος πάντοθεν* πρός τό πρῶτον αἴτιον*

ἀνατρέχειν ἐποίησας* καὶ κατευνάσας παθῶν τὸν τάραχον* καὶ τοὺς θορύβους ἀποσεισάμενος,* νοῦ καθαρότητι* συνεκράθης, πάνσοφε, πρός ἐφετῶν* ὄντως τὸ ἀκρότατον,* θεόφρον Ὅσιε.

Ἕτερα γ΄ νεότευκτα. Ἦχος δ΄. Ἐδώκας σημείωσιν.

Φωταυγὴς ὥσπερ ἥλιος,* ἐξ Ἑώας ἀνέτειλας* καταρδεύων ὑφήλιον,* ῥοῇ τῇ τῶν ὕμνων σου,* τῶν σεπτῶν παμμάκαρ,* Στέφανε Πάτερ,* τῶν ὑμνογράφων καλλονή,* τῆς Λαύρας Σάββα φύλαξ καὶ Ἄγγελε·* διό σοῦ τήν πανίερον* καὶ πανυπέρτιμον κοίμησιν,* εὐλογοῦντες δοξάζομεν* καὶ μελωδοῦντες τιμῶμεν σε.

Θυσίαν τόν βίον σου* τῇ Τριάδι προσέφερες,* προκηρύττων τοῖς πέρασι* Πατέρα τόν Ἄναρχον* καὶ τόν Τούτου Λόγον,* Στέφανε Πάτερ,* καὶ τό Πανάγιον ὁμοῦ,* ἐν σοὶ σκηνῶσαν, Πνεῦμα Παράκλητον·* διό καὶ μακαρίζεσαι* χρεωστικῶς καὶ γεραίρεσαι,* ὡς διδάξας τό πλήρωμα* τῆς Ἐκκλησίας τοῖς ὕμνοις σου.

Δεῦτε νῦν φιλέορτοι* καὶ Ὀρθοδόξων πᾶν σύστημα,* συμφώνως τιμήσωμεν* Κυρίου θεράποντα* Στέφανον τόν θεῖον,* ὅστις ἐν τῇ Λαύρᾳ,* διά εὐχῆς καὶ ἱλασμῶν,* τῆς Βασιλείας Χριστοῦ ἐπέτυχεν·* διό ἀσφαλῶς γεραίρεται*

καὶ ὑπὸ πάντων δοξάζεται,* τῶν τῇ Λαύρᾳ τοῦ Σάββα νῦν* προστρεχόντων ἐκ πίστεως.

Δόξα. Καὶ νῦν. Θεοτοκίον ἐκ τοῦ Μηναίου. Ἦχος πλ. δ΄. Ὦ τοῦ παραδόξου θαύματος.

Σῶσον με, σῶσον, Πανάμωμε,* ἡ τόν Σωτῆρα Χριστόν* ἀπορρήτως κυήσασα·* Σέ γάρ μόνην κέκτημαι* προστασίαν καὶ ἄρρηκτον* τεῖχος καὶ σκέπην καὶ ἀγαλλίαμα* καὶ τῆς ψυχῆς μου* θείαν παράκλησιν·* Σύ οὖν με λύτρωσαι* ἀκοιμήτου σκώληκος καὶ τοῦ πυρός* τοῦ διαιωνίζοντος,* Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Ἡ Σταυροθεοτοκίον. Ἐκ τοῦ Μηναίου. Ὅμοιον.

Σέ καθηλούμενον βλέπουσα* ἐν τῷ Σταυρῷ Ἰησοῦ* καὶ τά Πάθη δεχόμενον* ἑκουσίως, Δέσποτα,* ἡ Παρθένος καὶ Μήτηρ Σου,* Τέκνον ἐβόα, τέκνον γλυκύτατον,* πληγάς ἀδίκως* πῶς φέρεις ὁ Ἰατρός* ὁ ἰασάμενος* βροτῶν τήν ἀσθένειαν καὶ τῆς φθορᾶς* ἅπαντας ῥυσάμενος* τῇ εὐσπλαγχνίᾳ Σου.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. ι΄ 7, γ΄ 13-16, ἐκλογή).

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον

γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. δ΄ 14, Παροιμ. ι΄ 31).

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν·

δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν· καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας· δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ· Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει· καὶ ὁ ἀγρυπνήσας δι᾽ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσιν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει· δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις· Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων· σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων· καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ,

καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστιν παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. δ΄ 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο

ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ* ἡ Σιωνίτις Ἐκκλησία,* ὡς μήτηρ καλλίγονος,* ἐπί τῷ τέκνῳ σου εὐφραινομένη·* ἐκ σοῦ γάρ ἀνεβλάστησεν* ὁ εἰς ἔπαινον σήμερον προκείμενος,* ὁ τῆς τοῦ Σάββα Λαύρας μελῳδός,* Στέφανος ὁ οὐρανοπόθητος·* οὗτος γάρ Ἰησοῦν τόν Κύριον* δι’ ἀσκήσεως θεραπεύσας,* φιλόθεον βίον καί φιλάνθρωπον διάθεσιν ἐπεδείξατο.* Αὐτοῦ τήν μνήμην οὖν πιστῶς ἑορτάζοντες,* χεῖρας κροτοῦμεν βοῶντες·* τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμάστωσας Χριστέ,* ὧν τάς ἱκεσίας δέχου, Πολυέλεε.

Ἦχος β΄.

Ἐν τοῖς Ἁγίοις αὐτῆς* ἐκαυχᾶτο ποτέ ἡ μακαρία Σιών,* ἡ Στέφανον τόν Πρωτομάρτυρα γεννήσασα·* νῦν δέ καυχᾶται Συρίας ἡ χώρα,* ἐπί Στεφάνῳ τῷ τέκνῳ καί Πατρί αὐτῆς.* Οὗτος γάρ ἀπό νεότητος τῷ Κυρίῳ ἀνατεθείς,* ἐν τῇ τοῦ Σάββα Λαύρᾳ μαθητεύσας,* ὑμνολογικῶς ἡμῖν μετέδωκεν* τόν τῆς

ἁγιότητος πλοῦτον καὶ τήν τῆς πίστεως ἀκρίβειαν.* Αὐτῷ οὖν βοήσωμεν οἱ πιστοί·* τόν Κύριον, Πάτερ, ἱκέτευε,* ἵνα ἄρῃ ἀφ' ἡμῶν ἁμαρτίας τόν ζυγόν* καὶ πάντων ἡμῶν δεχθῇ τήν μετάνοιαν,*πρεσβείαις καὶ λιταῖς Σου, Ὅσιε.

Ἦχος γ΄.

Στέφανος μέν ὁ Ἀρχιδιάκονος,* πρῶτος τῶν Μαρτύρων* ἐν Σιών ἐφάνη·* Στέφανος δέ ὁ Σαββαΐτης,* αὐτῷ ἀκολουθῶν,* τῆς Λαύρας ἐδείχθη τῆς τοῦ Σάββα πολιστής,* Ἰωάννῃ τῷ Δαμασκηνῷ* τῷ αὐτοῦ συγγενῇ καὶ διδασκάλῳ ὑποταττόμενος.* Ὡς τῶν πάλαι Πατέρων ὅθεν ὁμότροπον* καὶ τῇ πίστει ὁμόφρονα,* τιμήσωμεν αὐτόν πιστοί,* αἰτούμενοι αὐτοῦ τάς πρεσβείας,* εἰς τό τυχεῖν ἀφέσεως.

Δόξα. Ἦχος πλ. α΄.

Ἀσκητικῆς ἐραστής γενόμενος πολιτείας,* ἀσκητικούς ἀγῶνας ἐπεδείξω,* ἐν τῇ Λαύρᾳ ἀγωνιζόμενος, Στέφανε,* δι' ὧν τά πάθη ἐνέκρωσας·* τοῦ ἐχθροῦ δέ καταβαλών τάς φάλαγγας, ἐξ' οὐρανοῦ ἐδέξω τό τῆς ὑμνογραφίας χάρισμα,* δι' οὗ ἡμᾶς ἐκδιδάσκεις τήν τῆς πίστεως ἀκρίβειαν* καὶ τήν ἁγιόβατον ὁδόν τῆς πρός οὐρανούς ἐπάγουσαν.* Ὅθεν, σοφέ τῆς ἐρήμου πολιστά,* μετά Σάββα τοῦ ἀγελάρχου,*

τοῦ μακαρίου Ἰωάννου* καί τῶν λοιπῶν ὁμοτρόπων σου,* τόν Κύριον ἱκετεύσατε,* τοῦ λαβεῖν ἡμᾶς εὐχαῖς ὑμῶν καί ἱκεσίαις,* παρ' Αὐτοῦ τό μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον.

Μετά Ἀγγέλων τά οὐράνια,*
μετά ἀνθρώπων τά ἐπίγεια,*
ἐν φωνῇ ἀγαλλιάσεως,* Θεοτόκε, βοῶμεν Σοι.*
Χαῖρε πύλη τῶν οὐρανῶν πλατυτέρα·*
χαῖρε μόνη τῶν γηγενῶν σωτηρία·*
χαῖρε, σεμνή Κεχαριτωμένη,*ἡ τεκοῦσα Θεόν σεσαρκωμένον.

Εἰς τόν Στίχον. Ἦχος πλ. α΄. Χαῖροις ἀσκητικῶν.

Χαίροις, τῆς κοίλης Συρίας ἡ γῆ* καί Δαμασκοῦ ἡ καλλίστη Μητρόπολις* Σιωνίτις τε Ἐκκλησία,* ἐπί τῷ τέκνῳ ὑμῶν,* τῷ Πατρί Στεφάνῳ τῷ θεόφρονι·* αὐτός ἐν ἀγῶσι* ἀσκητικοῖς βίον ἤνυσε,* τῶν πρό ἐκείνου* μονοτρόπων μιμούμενος* βίον ἔνθεον* καί βιοτήν τήν οὐράνιον·* πάντες οὖν ἐκβοήσωμεν* αὐτῷ μετά πίστεως,* χεῖρας κροτοῦντες αἰνέσει·* χαίροις Πατήρ ἡμῶν ἥδιστε,* Χριστοῦ Ἐκκλησίας* πανευφρόσυνον τε κλέος καί ἐνδιαίτημα.

Στ. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Χαίροις, Δαμασκηνοῦ ἱεροῦ* κατά τό αἷμα συγγενής, ὁ δεξάμενος* αὐτοῦ ἱεράν τέχνην* ὕμνους ποιεῖν τοῖς σεπτοῖς* Ὁσίοις καί Δικαίοις καί θείοις Μάρτυσι·* Μουσῶν θεῖε Στέφανε* ἐραστής ὁ δειξάμενος* ἐπιφοιτήσει* Πνεύματος θείου, Οὗ γέγονας* οἰκητήριον* δι᾽ ἀγώνων ἀσκήσεως.* Χαίροις, ὦ πανσεβάσμιε,* δοχεῖον τῆς χάριτος,* ναέ τοῦ μόνου Δεσπότου* Πατρός, μονή ἡ τοῦ Πνεύματος·* τῷ Λόγῳ πρεσβείαν,* ἱκετεύομεν μή παύειν* ποιεῖν ἑκάστοτε.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαμαύστωσεν ὁ Κύριος.*

Χαίροις, τῆς Ἐκκλησίας φωστήρ,* Λαύρας τῆς πρώτης* τέκνον καί θρέμμα πανάξιον,* ὁ κόσμος Ὀρθοδοξίας,* ὁ φῶς προχέων ἡμῖν* τῷ τοῦ Παρακλήτου, θεοπόθητε·* μή ἐπιλάθου δεόμεθα* τῆς σῆς πατρίδος, πλήν πρέσβευε,* Χριστῷ Κυρίῳ* ὑπέρ αὐτῆς, ἵνα ῥύσηται* ἐκ τοῦ πολέμου καί τῆς δεινῆς περιστάσεως.* Πρόφθασον ταῖς πρεσβείαις σου,* Στέφανε, πρός τόν Φιλάνθρωπον·* φώτισον, Πάτερ, τούς σκότει* παθῶν δεινῶν περιπίπτοντας·* καί δώρησαι πᾶσι* φωτισμόν Πνεύματος θείου,* Ὅ σύ ἐλειτούργησας.

Δόξα. Ἦχος δ΄.

Δεῦτε πιστοί* τόν τῆς Λαύρας οἰκιστήν* καί ὑμνογραφίας ἐραστήν τόν ἔνθερμον,* τόν ἐν τῷ Πυρίνῳ Ποταμῷ ἀσκηθέντα* καί Ἰωάννῃ τῷ

Δαμασκηνῷ ἀγάπῃ συνδεθέντα,* Στέφανον τόν μακάριον,* ὕμνοις ἐγκωμίων καταστέψωμεν,* αὐτῷ βοῶντες.* Χαῖρε, τό τῆς Συρίας ἄνθος τό εὔοσμον,* τό μυρίζον ὀδμαῖς ἁγιότητος* τόν κόσμον ἅπαντα·* χαῖρε, ὁ Πατήρ ὁ γλυκύς,* ὁ διά τῶν σῶν λόγων* τῶν ψυχῶν ὁδηγός καί ποδηγέτης* πρός μονάς οὐρανίους·* χαῖρε, ὁ παραμυθήσας παραμυθίᾳ οὐρανίῳ,* τάς ψυχάς τῶν πρός σέ προσερχομένων.* Μή διαλείπῃς, Πάτερ, πρεσβεύων* ὑπέρ τῶν τιμώντων τήν μακαρίαν μνήμην σου.

Καί νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων* τούς δούλους Σου φύλαττε,* εὐλογημένη Θεοτόκε,* ἵνα Σέ δοξάζομεν* τήν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως. Γερασίμου μ. Μικραγιαννανίτου.

Στέφος εἴληφας* τῆς εὐδοκίας,* στέφος γέγονας* τῆς Ἐκκλησίας,* ἐπωνύμως, παναοίδημε Στέφανε·* σύ γάρ ἐνθέοις στεφόμενος χάρισι,* δι' εὐσεβείας ποικίλως διέπρεψας.* Πάτερ Ὅσιε, Χριστόν τόν Θεόν ἱκέτευε,* δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

Θεοτοκίον.

Ἕκαστος ὅπου σώζεται* ἐκεῖ δικαίως καί προστρέχει·* καί ποία ἄλλη καταφυγή,* ὡς Σύ Θεοτόκε,* σκέπουσα τάς ψυχάς ἡμῶν; Ἀπόλυσις.

ΟΡΘΡΟΣ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἀνεδείχθης ἀληθῶς,* τῆς Ἐκκλησίας καλλονή,* τῶν μοναστῶν ὑπογραμμός,* παραμυθίας ἡ πηγή* Ὀρθοδοξίας σέμνωμα, Στέφανε Πάτερ·* ὅθεν πατρικῶς* πάντας ἠγάπησας,* γνώσει ἀληθεῖ καὶ λόγῳ κρείττονι,* καθοδηγήσας, Ὅσιε, καὶ εὐσεβείας,* τούτους πρός πόλιν τήν μένουσαν.* Διό δυσώπει* πᾶσι δοθῆναι* πταισμάτων, Πάτερ, τήν συγχώρησιν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον. Ἰδιόμελον.

Κατεπλάγη Ἰωσήφ,* τό ὑπέρ φύσιν θεωρῶν* καὶ ἐλάμβανεν εἰς νοῦν* τόν ἐπί πόκον ὑετόν,* ἐν τῇ ἀσπόρῳ συλλήψει Σου, Θεοτόκε,* βάτον ἐν πυρί ἀκατάφλεκτον,* ῥάβδον Ἀαρών τήν βλαστήσασαν·* καὶ μαρτυρῶν ὁ Μνήστωρ Σου καί φύλαξ* τοῖς Ἱερεῦσιν ἐκραύγαζε·* παρθένος τίκτει* καὶ μετά τόκον,* πάλιν μένει παρθένος.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἡ μνήμη σου, Ὅσιε, ἐπισυνάγει ἡμᾶς,* τοὺς θείους ἀγῶνάς σου ὑμνολογογῆσαι πιστῶς·* διό ἱκετεύομεν,* πρέσβευε τῷ Κυρίῳ,* ἵνα πάντες ῥυσθῶμεν* πάσης τοῦ ἀλλοτρίου* ἐπιροίας καὶ βλάβης·* τυχεῖν δέ τῆς οὐρανίου μακαριότητος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Παρθένε Πανάμωμε, ὤφθης δοχεῖον φωτός,* διὸ εὐφημοῦμέν Σε τὴν προστασίαν ἡμῶν* καὶ Σὲ ἱκετεύομεν,* δίωξον τοὺς κινδύνους* τοὺς ἡμᾶς ἀπειλοῦντας,* φρούρησον δὲ τῷ τείχει* πρεσβειῶν τῷ ἀσείστῳ,* τοὺς Σὲ ἀνυμνοῦντας πόθῳ, Πανένδοξε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Εὐφραίνονται λαμπρῶς,* Ὀρθοδόξων τὰ στίφη,* ἐπὶ τῇ ἱερᾷ* καὶ ὁσίᾳ σου μνήμῃ,* Στέφανε θεοτίμητε,* ὑμνωδῶν τὸ ἀγλάϊσμα,* οὕς ἐνίσχυσον* τῇ ἐκτενεῖ σου πρεσβείᾳ,* τὴν τῆς πίστεως* τρίβον στενὴν διανῦσαι,* εἰς αἶνον τοῦ Κτίσαντος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Μητέρα Σε Θεοῦ* ἐπιστάμεθα πάντες,* παρθένον, ἀληθῶς* καὶ μετὰ τόκον φανεῖσαν,* οἱ πόθῳ καταφεύγοντες* πρὸς τὴν Σὴν ἀγαθότητα·* Σὲ γὰρ ἔχομεν* ἁμαρτωλοὶ προστασίαν,* Σὲ κεκτήμεθα* ἐν πειρασμοῖς σωτηρίαν,* τὴν μόνην Πανάμωμον.

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. στ΄ 17-21).

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος πολὺς μαθητῶν αὐτοῦ καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ’ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτός, ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ, ἔλεγεν· μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ Βασιλεία τοῦ Θεοῦ· μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε· μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε· μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσιν, καὶ ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Ὁ Ν΄ (50) Ψαλμός.

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με ὁ Θεός…*

Σήμερον, πάντες οἱ πιστοί,* τὸν ὡραϊσμένον ἐν κάλλεσι* τῆς καλλοποιοῦ ἀσκήσεως Στέφανον

εὐφημήσωμεν.* Οὗτος ὡς λαμπρὸς ἀστὴρ* ἀνέτειλεν ἐν τῷ τῆς Ἐκκλησίας νοητῷ στερεώματι* καὶ θείοις ἀγῶσι ἀφθαρσίαν προσεκτήσατο·* καὶ νῦν αὐλίζει ἐν οὐρανῷ,* τοῖς ἄνω γηθόμενος χορείαις τῶν Ἁγίων,* οὓς ὕμνοις ἐξύμνησεν,* μεθ' ὧν πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου ἐκ τοῦ Μηναίου, οὗ ἡ ἀκροστιχίς· *Σοί Στέφανε στέφανόν σοι ὁμώνυμον οἵσομεν ὕμνον.* Θεοφάνους. [1]

Ὠδὴ α'. Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε.

Σοί τῆς σῆς παμμάκαρ διδαχῆς,* χρέος προσκομίζοντες,* τήν ὀφειλήν ἀπονέμομεν Στέφανε,* ἐγκώμιον πλέκοντες·* σέ δέ ἵλεως δεδεγμένος, πανόλβιε,* ταῖς σαῖς ἱκεσίαις* χάριν μοι παράσχου τήν τοῦ Πνεύματος.

Ὀλεθρίων ὅρμημα παθῶν,* Πάτερ, κατεμάρανας, λογιστικῷ κεχρημένος θεόφρονι·* εὐμενής γάρ γέγονας,* εὐπροσήγορος, προσηνής τε καί μέτριος,* λόγῳ τῆς σοφίας,* Στέφανε, καί γνώσεως στεφόμενος.

Ἱερῶς ἐκόσμησας σαυτόν,* Πάτερ διά γνώσεως* καί πρακτικῆς ἐνεργείας χαρίσματος,* θεορρήμον,* ἐφιέμενος τῶν στεφάνων τῆς δόξης Χριστοῦ·* ὅθεν τῆς ἐλπίδος ἄριστα,* παμμάκαρ, οὐ διήμαρτες.

Θεοτοκίον.

Τῶν κτισμέτων πέφυνας, Ἁγνή,* πάντων ὁρατῶν τε* καὶ ἀοράτων ὑπερτέρα, Πανάμωμε·* τόν γάρ Κτίστην τέτοκας,* ὡς ηὐδόκησε* σαρκωθῆναι ἐν μήτρᾳ Σου·* Ὃ σύν παῤῥησίᾳ πρέσβευε* σωθῆναι τάς ψυχάς ἡμῶν.

Ὠδή γ'. Ἐξήνθησεν ἡ ἔρημος.

Ἐξέλαμψεν ὁ βίος σου,* θεοφόρε Στέφανε,* ὁλολαμπής ὡς ὁ ἥλιος,* ἐν τῷ κόσμῳ καὶ κατεφώτισε* τούς σοί πίστει καὶ πόθῳ προσανέχοντας.

Φωτίζεται τά πέρατα* διδαχαῖς σου, Ὅσιε·* ὡς γάρ φωστήρ ἐξέλαμψας,* θεοφόρε, τῇ Ἐκκλησίᾳ Χριστοῦ,* ἐν ᾗ ἐστερεώθη ἡ καρδία σου.

Ἀδούλωτον ἐτήρησας* τήν ψυχήν σου πάθεσι* καὶ ἡδοναῖς τοῦ σώματος,* θεοφόρε Στέφανε τίμιε·* διό νῦν ἐπαξίως εὐφημοῦμεν σε.

Θεοτοκίον.

Ἐφάνης καθαρότητι* ὡσεί κρίνον, Δέσποινα,* τῶν ἀκανθῶν ἐκλάμψασα* λαμπηδόσι τῆς παρθενίας Σου* ἐν μέσῳ, Θεοτόκε πανσεβάσμιε.

Ὁ Εἱρμός.

Ἐξήνθησεν ἡ ἔρημος* ὡσεί κρίνον Κύριε,* ἡ τῶν ἐθνῶν στειρεύουσα* Ἐκκλησίᾳ τῇ παρουσίᾳ Σου,* ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου.

Κάθισμα ἐκ τοῦ Μηναίου. Ἦχος πλ. δ΄. Ἀνέστης ἐκ νεκρῶν.

Ναόν φωτοειδῆ* Πνεύματος τοῦ Ἁγίου,* τελέσας τήν ψυχήν* παναοίδημε Πάτερ,* ἔνδον ἔσχες ἀφράστως* τόν Βασιλέα Χριστόν καί Κύριον,* εὗρες πλοῦτον θαυμάτων* καί κόσμῳ νέμεις χάριν τήν ἄφθονον·* διό κινδύνων πάντας καί φθορᾶς* συντήρει τούς ὑμνοῦντας σε.

Δόξα. Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

Παρθένε Μαριάμ,* τῶν Ἀγγέλων ἡ δόξα,* ὡράϊσμα τερπνόν* καί γηγενῶν ὁ κόσμος,* δίδου τοῖς Σέ ὑμνοῦσιν,* ἁμαρτημάτων πάντων συγχώρησιν·* ἵλαθι τοῖς Σοῖς δούλοις,* ὅτι ὑπάρχεις Ἁγνή ἡ λύτρωσις,* ἀπεγνωσμένων ὄντως ἰσχυρόν* προσφύγιον ἀνθρώπων.

Ἤ Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἄσπιλος Ἀμνάς* τόν Ἀμνόν καί Ποιμένα* κρεμάμενον σταυρῷ* κατιδοῦσα ἐβόα·* Τέκνον μου τί τό ξένον* καί παρ' ἐλπίδα τοῦτο νῦν θέαμα;* Πῶς ἡ Ζωή θανάτῳ* βροτοῖς ὁμοίως καταδικάζεται;* Ἀλλά ἀνάστηθι ἐκ νεκρῶν,* ἵνα χαίρουσα δοξάζω Σε.

Ὠδή δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Σύ Στέφανε* μοναζόντων ἐγένου στεφάνωμα,* οὐ λίθον πολύτιμον,* ἀλλ' ἀρετήν περικείμενος·* ὤφθης γάρ, μακάριε,* θεοχαρίτωτον ὄντως ἐνδιαίτημα.

Τήν ἔνθεον,* θεοφόρε, Σοφίαν τετίμηκας·* διό τῶν χαρίτων σε* Αὕτη στεφάνοις ἐλάμπρυνε,* δόξαν τήν ἀϊδιον* σοί προξενήσασα, Πάτερ ἀοίδημε.

Ἐπόθησας* ὁλοκλήροις καρδίας κινήμασιν* ὀρεκτόν τό ἔσχατον,* κόσμου λιπών τήν τερπνότητα·* πόθῳ δέ κατάλληλον* καί τήν ἀπόλαυσιν εὗρες, παμμακάριστε.

Θεοτοκίον.

Νεκρώσεως* τόν καρπόν μοι ἡ Εὔα προσήγαγε·* Ζωήν δέ γεννήσασα* τήν ἐνυπόστατον, Πάναγνε,* αὖθίς με ἠνώρθωσας·* διό κραυγάζω Σοι·* δόξα τῇ κυήσει Σου, Δέσποινα.

Ὠδή ε'. Μεσίτης Θεοῦ.

Ὁρμήν τῶν παθῶν* ἀπαθείας ἔρωτι κατέσβεσας,* θεοφόρε Στέφανε,* καί ταῖς θεωρίαις καί ταῖς πράξεσι* κατελάμπρυνας πᾶσαν* τήν τῆς ψυχῆς κατάστασιν.

Νοΐ καθαρῷ* ταῖς Γραφαῖς ὡμίλησας τοῦ Πνεύματος,* θεορρῆμον Στέφανε,* καί τῆς θεωρίας καί τῆς πράξεως* συνελέξω τόν πλοῦτον,* θεόφρον Πάτερ Ὅσιε.

Σοφίας βυθόν* ἐρευνήσας, Στέφανε, κατέλαβες* εὑρεῖν ὅσον χρήσιμον·* καί τόν μαργαρίτην τόν πολύτιμον* διά πόνων ἐκτήσω,* παμμάκαρ, τόν τῆς γνώσεως.

Θεοτοκίον.

Ἰδού ἐν γαστρί,* Θεοτόκε Πάναγνε, Χριστόν τόν Θεόν* ὑπέρ λόγον ἔσχηκας,* ὥσπερ Ἡσαΐας προηγόρευσεν·* ὑπέρ φύσιν δέ Τοῦτον,* Θεογεννῆτορ, τέτοκας.

Ὠδή στ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Οἰκουμένης φωστήρ φωτεινότατος,* Πάτερ ἀναδέδειξαι, λόγου λαμπρότησι* καταφωτίζων, Στέφανε,* τούς σοί πίστει καί πόθῳ προστρέχοντας.

Μακαρίως τόν βίον διήνυσας·* μύσας τάς αἰσθήσεις γάρ ἔξω γεγένησαι* τῆς κοσμικῆς συγχύσεως* καί Θεῷ προσωμίλησας, Στέφανε.

Ὡς καλός, ὡς ὡραῖος ὁ στέφανος,* ᾧ νῦν ἐστεφάνωσαι, πάνσοφε Στέφανε,* ταῖς ἀρεταῖς στεφόμενος* καί παθῶν βασιλεύσας, πανάριστε.

Θεοτοκίον.

Ὑπέρ φύσιν, Παρθένε, ἐκύησας* καί διαιωνίζεις Παρθένος, ἐμφαίνουσα* τῆς ἀληθοῦς θεότητος* τοῦ Υἱοῦ καί Θεοῦ Σου τά σύμβολα.

Ὁ Εἱρμός.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος* τήν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας Σου* ἐπικαλοῦμαι ἄβυσσον·* ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Κοντάκιον ἐκ τοῦ Μηναίου. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

Καταφυτεύσας ἀρετῶν τόν παράδεισον* καί καταρδεύσας ταῖς ῥοαῖς τῶν δακρύων,* ὡς τῆς ζωῆς, πανένδοξε, τοῦ ξύλου τυχών,* σῶσον ἱκεσίαις σου* ἐκ φθορᾶς τήν σήν ποίμνην,* ῥῦσαι περιστάσεως* τούς θερμῶς σε τιμῶντας· σέ γάρ προστάτην μέγιστον, σοφέ,* πάντες ἐν πίστει* καί πόθῳ κεκτήμεθα.

Ὁ Οἶκος.

Ὡς καθαιρέτην τῶν παθῶν καί τύπον ὀρθοῦ βίου, ἀλείπτην τε ἀζύγων, κανόνα μοναζόντων καί ἀρετῶν ὑπογραμμόν, πάντες συνελθόντες ἐν τῇ μνήμῃ σου, σοφέ, οἱ φοιτηταί σου κράζομεν· δόξα τῷ σέ ἀξίως δοξάσαντι τέρασιν ἀλήκτοις καί σημείοις φοβεροῖς, οὐκ ἐν βίῳ μόνον, ἀλλά καί μετά τέλος. Διό ἐκδυσωπεῖν Χριστῷ μή ἐλλίπῃς, τοῖς τιμῶσι σε ἀεί καταπεμφθῆναι λύσιν τῶν πολλῶν καί χαλεπῶν ἐγκλημάτων· σέ γάρ προστάτην μέγιστον, σοφέ,* πάντες ἐν πίστει* καί πόθῳ κεκτήμεθα.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Στεφάνου τοῦ Σαββαΐτου, ἀνεψιοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ, τοῦ Ὑμνογράφου.

Στίχοι τοῦ Μηναίου.

Ἐπώνυμος Στέφανος οὗ φορεῖ στέφους,

ὅ πρακτική χείρ ἀρετῆς πλέκειν.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

ὨΙδή ζ΄. Ἀντίθεον πρόσταγμα.

Μυρίζουσιν, Ὅσιε, τῶν σῶν διδαγμάτων* οἱ λόγοι ἐν χάριτι* τοῦ Πνεύματος λαμπόμενοι·* θεότητα μίαν γάρ σέβων* προσώποις τρισί,* Λόγου τε τήν σάρκωσιν ὑμνῶν* εὐωδιάζεις ἡμᾶς, πανόλβιε.

Ὁ βίος τῷ λόγῳ σου συνδραμών, Πάτερ,* διπλοῦν σοι τόν στέφανον, παμμάκαρ, προεξένησε·* σοφίας γάρ ὄργανον, Πάτερ πάντιμε,* γέγονας τῷ Κτίστῃ σου βοῶν·* εὐλογημένος καί ὑπερένδοξος.

Ὁ λόγος σου ἄλατι διηρτυμένος,* ὁ βίος σου χάριτι, παμμάκαρ, λαμπρυνόμενος* ἐφάνη, θεσπέσιε·* διό τάς ἄνω μονάς* ᾤκησας γηθόμενος Χριστῷ,* σύν παρρησίᾳ νῦν παριστάμενος.

Θεοτοκίον.

Ἰθύνασα, Πάναγνε, τόν ἐμόν βίον,* πρός τόν Σόν πανεύδιον λιμένα καθοδήγησον,* Θεόν ὡς κυήσασα,* τῶν ἀγαθῶν τήν πηγήν,* τοῖς πᾶσι παρέχοντα πιστοῖς,* τῆς ἀφθαρσίας τήν ἀγαθότητα.

ὨΙδή η΄. Κάμινος ποτέ.

Στέφος εὐπρεπές,* Χριστός ὁ Ζωοδότης,* τῇ κορυφῇ σου ἐπιτέθεικε,* φερώνυμε Στέφανε·* καί

γάρ πράξεσι διέπρεψας* καί θεωρίαις ἔφανας κράζων·* ὑπερυψοῦτε* πάντα τά ἔργα Κυρίου τόν Κύριον.

Ὅλην ὑπερβάς* τήν αἴσθησιν, παμμάκαρ,* Νοΐ τῷ πρώτῳ προσωμίλησας* ψυχῆς καθαρότητι, πολιτείας τε σεμνότητι,* στεφανηφόρε Στέφανε, κράζων·* ὑπερυψοῦτε* πάντα τά ἔργα Κυρίου τόν Κύριον.

Μάρτυρας Χριστοῦ,* θεόφρον, ἀνυμνήσας* καί τῶν Ἁγίων τά συστήματα,* σύν τούτοις ἐσκήνωσας,* εὐφροσύνης ἐμφορούμενος* καί θείας ἀπολαύσεως, κράζων·* ὑπερυψοῦτε πάντα τά ἔργα Κυρίου τόν Κύριον.

Θεοτοκίον.

Νοῦς ὁ ἀπαθής* ἐν μήτρᾳ Σου ἐνοῦται* τῷ ἀνθρωπόνῳ νοΐ, Πάναγνε,* σαρκός τε παχύτητι·* ὑπό χρόνον δέ ἐγένετο* αἰώνων ὁ ὑπέρτερος·* ὅθεν Σε Θεοτόκον* πίστει καί πόθῳ μακαρίζομεν.

Ὠδή θ'. Ἀνάρχου Γεννήτορος.

Ὑπέρτιμε Στέφανε* νῦν καθαρῶς ἡδόμενος* καί τρυφῆς ἀπολαύων τῆς ὑπέρ ἔννοιαν,* ἔνθα τῶν Ἁγίων οἱ δῆμοι* περί Θεόν χορεύουσι, μάκαρ,* τούς σοί καταφεύγοντας* μεσιτεύων πρός σέ ἔλκυσον.

Μετέστης γηθόμενος* πρός ἐφετῶν ἀκρότατον,* πρός τό μόνον τῷ ὄντι σαφῶς μακάριον,* πρός τό πανυπέρτατον κάλλος,* πρός τήν ζωήν* τήν ὄντως

ἀγήρω,* πρός φῶς τό ἀνέσπερον,* θεοφόρε Πάτερ Στέφανε.

Ὡς ἥλιος ἔλαμψας* ἐν μοναστῶν συστήμασι,* ἀπαλῶν ἐξ ὀνύχων καθιερούμενος* καί ὥσπερ ἀκτῖνας ἐκπέμπων* τάς ἀρετάς τῆς σῆς πολιτείας,* γλυκύτατε Στέφανε,* θεοφόρε Πάτερ Ὅσιε.

Θεοτοκίον.

Νοήσαντες πόῤῥωθεν,* προβλεπτικοῖς τοῖς ὄμμασιν,* Προφῆται Σε πάντες προανεφώνησαν,* ὡς γενησομένην Μητέρα* τοῦ Παντουργοῦ καί πάντων Δεσπότου·* διό Σε, Πανύμνητε Θεοτόκε, μεγαλύνομεν.

Ὁ Εἱρμός.

Ἀνάρχου Γεννήτορος* Υἱός, Θεός καί Κύριος,* σαρκωθείς ἐκ Παρθένου ἡμῖν ἐπέφανε,* τά ἐσκοτισμένα φωτίσαι,* συναγαγεῖν τά ἐσκορπισμένα·* διό τήν Πανύμνητον* Θεοτόκον μεγαλύνομεν.

Ἐξαποστειλάριον τοῦ Μηναίου. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Στεφανηφόρε Στέφανε,* σύ δεξάμενος ζέσιν* τοῦ Παναγίου Πνεύματος,* ἀπερῤῥάγης τοῦ κόσμου,* τόν σόν σταυρόν ἆρας, Πάτερ·* συγκραθείς τῷ Χριστῷ δέ* δι' ἀκριβοῦς ἀσκήσεως* καί ἁγνῆς παρθενίας, τῶν ὑπέρ νοῦν* χαρισμάτων, Ὅσιε, ἠξιώθης·* ἐξ ὧν πλουτίζεις, πάνσοφε,* τήν ὑφήλιον πᾶσαν.

Θεοτοκίον.

Τόν σαρκωθέντα Κύριον* ἐξ ἁγνῶν Σου αἱμάτων,* Παρθενομῆτορ Ἄχραντε,* δυσωποῦσα μή παύσῃ,* ὑπέρ ἀχρείων Σῶν δούλων,* ὅπως εὕρωμεν χάριν* καί εὔκαιρον βοήθειαν* ἐν ἡμέρᾳ ᾗ κρίνῃ γένος βροτῶν,* ὡς Θεός παρέχων τά κατ᾽ ἀξίαν·* Σέ γάρ προστάτιν ἅπαντες* ἔχομεν ἐν ἀνάγκαις.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τοῦ Παρακλήτου τήν χάριν* λαβών, θεσπέσιε,* ἀσκήσεσι καί πόνοις*
τόν ἀρχέκακον ὄφιν,*
γενναίως ὑπέταξας καί εἰς γῆν* κατακρίμνησας, Στέφανε·* διό τήν μνήμην ἐν ᾄσμασι καί ᾠδαῖς* τήν ἀξιϋμνητον τιμῶμέν σου.

Τῶν ἐπιγείων τόν ὕμνον* δέχου, πανεύφημε,* καί τάς αἰτήσεις πάσας* πρός Θεόν μεταφέρων,* ἐνίσχυσον ἱκέτας σου, ἱερέ,* ταῖς ἁγίαις πρεσβείαις σου* καί τάς ᾠδάς τῶν ὑμνούντων σε ἱερῶς* μή παρίδῃς, ὡς φιλάδελφος.

Χαίροις Ὁσίων ἡ δόξα,* τῆς Λαύρας καύχημα* καί τῆς Συρίας κλέος,* ἐλπίς δέ τῶν ὑμνητῶν σου·* χαῖρε Κυρίου ὁ δοῦλος ὁ ἀγαθός,* ὁ μή κρύψας τό τάλαντον·* χαίροις τρισόλβιε Στέφανε ὑμνωδέ,* Ἐκκλησίας τό θησαύρισμα.

Τὸν ἐν τοῦ Σάββα τήν Λαύραν* σεμνῶς ἀσκήσαντα·* τόν βοηθείας πάντων* τῶν χρηζόντων πατέρα·* τὸν μέγαν ἐν ἀσκήσει, τὸν τούς ἐχθροὺς* ἐμφανῶς καταισχύναντα,* Στέφανον θεῖον ὑμνήσωμεν οἱ πιστοί* καὶ θερμῶς καθικετεύσομεν.

Δόξα. Ἦχος πλ. α΄.

Ἐκ τῆς μακαρίας Δαμασκοῦ,* ὡς ἄνθος εὐῶδες* τῇ Ἐκκλησίᾳ προσεφέρθης,* Στέφανε μακάριε·* ὅθεν τῆς τε ἀλήκτου ζωῆς* τόν στέφανον δεξάμενος,* ὡς βραβεῖον τῶν ἀγώνων σου,* νῦν ἐν οὐρανῷ συναγάλλει* μετά τῶν οὐρανίων Δ υνάμεων* καί πάντων τῶν Ἁγίων, οὕς ὕμνοις ἐξύμνησας·* διό χαριστήριον ᾠδήν σοι ἄδοντες,* ἐν κατανύξει βοῶμεν·* ἀπαύστως πρέσβευε Χριστῷ τῷ Θεῷ,* τῆς τοῦ Ἡγιασμένου Λαύρας ἴον κροκοφαές,* ἵνα ῥύσηται ἡμᾶς τῆς περιστάσεως.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε,* Θεοτόκε Παρθένε,* καί δοξάζομέν Σε* οἱ πιστοί κατά χρέος,* τήν πόλιν τήν ἄσειστον,* τό τεῖχος τό ἄρηκτον,* τήν ἀραγῆ προστασίαν* καί καταφυγήν τῶν ψυχῶν ἡμῶν.


Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Μεγαλυνάριον.

Χαίροις Λαύρας Σάββα ἴον σεπτόν,* ὄντως τῶν Ὁσίων* τῶν ἀρχαίων ὁ μιμητής,* μεθ’ὧν Παραδεί σου αὐλαῖς ταῖς φωτοβόλοις* χορεύεις καί ἀγάλλει,* θεόπτα Στέφανε.

---

[1] Ὁ αὐτός Κανών ὑπάρχει καί τήν 13η Ἰουλίου. Τό χειρόγραφον ὅμως ἔχει κατά τήν σήμερον ἄλλον Κανόνα, εἰς ἦχον πλ. δ΄, μέ ἀκροστιχίδαν· *Ὁμότροπον Στέφανε σόν ὁμώνυμον τίθει.*


A
Ω